quibus sani esse valeamus. fœlices quoque esse volumus, atque ita dicimus: dicere verò, eligimus fœlices esse, minimè conuenit, omnino enim in iis esse electio videtur, quæ in nostra potestate sita sunt. Verũ neque opinio est. opinio enim circa omnia versatur, nec minus circa æterna, & quæ fieri nequeant, quàm quæ in nostra sita sunt potestate. adde quòd vero & falso, non bono & malo distinguitur: at electio his magis. In vniuersum verò esse idem cum opinione electionem fortasse neque diceret quispiam: sed ne cum aliqua quidem in particulari. bona etenim aut mala eligendo qualitate quadam affecti sumus: opinando autem minimè. Et eligimus capere aliquid, aut fugere, aut eiusmodi quippiã: opinamur verò quid sit aliquid, aut cui, aut quomodo cõferat, sed accipere vel fugere non admodum opinamur. & electio quidem laudatur, eò quòd eius est, cuius esse magis oportet, aut quòd recta est: opinio, quia est vera. Quæ item maximè scimus esse bona, eligimus: quæ non admodum scimus, ea opinamur. videnturque non iidem optima & eligere & opinari: sed nonnulli sunt, qui melius opinantur, ob vitium tamen ea quæ non decet, eligere consueuerunt. Antecedat autem an sequatur electionem opinio, nihil interest: non enim id nunc consideramus: sed an idem cum opinione aliqua electio sit. Quid igitur aut quale est electio, quando nihil eorum est quæ dicta sunt? spontaneum sanè esse quoddam videtur. non omne tamen spontaneum eligibile est: sed id scilicet, quod est præconsultatum: quippe cum electio seu propositum cum ratione, ac cogitatione existat: id quod significare nomen etiam ipsum videtur. quasi id quod eligitur seu proponitur, ex aliis legatur, ponatúrve ante alia.

CAPVT V.

VErum consultántne de omnibus homines, quodlibétque est cõsultabile: an de quibusdam non est consultatio? Sed fortasse consultabile id dicendum est, de quo mentis compos vir, non quiuis vel stolidus vel insanus consultaret. De æternis autem nemo consultat: vt de mundo, aut diametro & latere, quòd nulla inter se æquabilitate conueniant: at neque de iis quæ in motu quidem sunt, sed semper tamen circa eadem versantur, siue necessitate, siue natura, siue aliqua alia de causa: vt de solstitiis, atque ortibus: neque de iis quæ alias aliter eueniunt: vt de siccitatibus, & imbribus: neque item de iis quæ fortuna contingunt: vt de thesauri inuen-

A δι' ὧν ὑγιανοῦμεν· καὶ εὐδαιμονεῖν βουλόμεθα μὲν, καὶ φαμέν· προαιρούμεθα δὲ λέγειν, οὐχ ἁρμόζει. ὅλως γὰρ ἔοικεν ἡ προαίρεσις περὶ τὰ ἐφ' ἡμῖν εἶναι. οὐδὲ δὴ δόξα ἂν εἴη. ἡ μὲν γὰρ δόξα δοκεῖ περὶ πάντα εἶναι, καὶ οὐδὲν ἧττον περὶ τὰ ἀΐδια καὶ τὰ ἀδύνατα, ἢ τὰ ἐφ' ἡμῖν· καὶ τῷ ψευδεῖ καὶ ἀληθεῖ διαιρεῖται, οὐ τῷ κακῷ καὶ ἀγαθῷ· ἡ δὲ προαίρεσις τούτοις μᾶλλον. ὅλως μὲν οὖν δό-
B ξῃ ταὐτὸν, ἴσως οὐδὲ λέγει οὐδείς. ἀλλ' οὐδὲ τινί· τῷ γὰρ προαιρεῖσθαι τἀγαθὰ ἢ τὰ κακὰ, ποιοί τινές ἐσμεν· τῷ δὲ δοξάζειν οὔ. καὶ προαιρούμεθα μὲν λαβεῖν ἢ φυγεῖν, ἤ τι τῶν τοιούτων· δοξάζομεν δὲ, τί ἐστιν ἢ τίνι συμφέρει, ἢ πῶς· λαβεῖν δὲ ἢ φυγεῖν, οὐ πάνυ δοξάζομεν. καὶ ἡ μὲν προαίρεσις ἐπαινεῖται, τῷ εἶναι οὗ δεῖ μᾶλλον, ἢ τῷ ὀρθῶς· ἡ
C δὲ δόξα, τῷ ἀληθῶς. καὶ προαιρούμεθα μὲν, ἃ μάλιστα ἴσμεν ἀγαθὰ ὄντα· δοξάζομεν δὲ, ἃ οὐ πάνυ ἴσμεν. δοκοῦσί τε οὐχ οἱ αὐτοὶ προαιρεῖσθαι τὰ ἄριστα καὶ δοξάζειν· ἀλλ' ἔνιοι, δοξάζειν μὲν ἄμεινον· διὰ κακίαν δὲ, αἱρεῖσθαι οὐχ ἃ δεῖ. εἰ δὲ προγίνεται δόξα τῆς προαιρέσεως, ἢ παρακολουθεῖ, οὐδὲν διαφέρει· οὐ τοῦτο γὰρ σκοποῦ-
D μεν· ἀλλ' εἰ ταὐτόν ἐστι δόξῃ τινί. τί οὖν ἢ ποῖόν τί ἐστιν, ἐπειδὴ τῶν εἰρημένων οὐδέν ἐστιν; ἑκούσιον μὲν δὴ φαίνεται· τὸ δ' ἑκούσιον, οὐ πᾶν προαιρετόν. ἀλλ' ἆρά γε τὸ προβεβουλευμένον· ἡ γὰρ προαίρεσις, μετὰ λόγου καὶ διανοίας. ὑποσημαίνειν δ' ἔοικε καὶ τοὔνομα, ὡς ὂν πρὸ ἑτέρων αἱρετόν.

Κεφάλαιον ε.

E Βουλεύονται δὲ πότερα περὶ πάντων, καὶ πᾶν βουλευτόν ἐστιν, ἢ περὶ ἐνίων οὐκ ἔστι βουλή; λεκτέον δ' ἴσως βουλευτὸν, οὐχ ὑπὲρ οὗ ἄν τις βουλεύσαιτο ἠλίθιος, ἢ μαινόμενος· ἀλλ' ὑπὲρ ὧν ὁ νοῦν ἔχων. περὶ δὲ τῶν ἀϊδίων, οὐδεὶς βουλεύεται· οἷον περὶ τοῦ κόσμου, ἢ τῆς διαμέτρου καὶ τῆς πλευρᾶς,
F ὅτι ἀσύμμετροι· ἀλλ' οὐδὲ περὶ τῶν ἐν κινήσει, ἀεὶ δὲ κατὰ ταὐτὰ γινομένων, εἴτ' ἐξ ἀνάγκης, εἴτε φύσει, ἢ διά τινα ἄλλην αἰτίαν, οἷον τροπῶν, καὶ ἀνατολῶν· οὐδὲ περὶ τῶν ἄλλοτε ἄλλως, οἷον αὐχμῶν καὶ ὄμβρων· οὐδὲ περὶ τῶν ἀπὸ τύχης, οἷον θησαυροῦ